‘ὁ καπνὸς αὐτῆς ἀναβαίνει εἰς τοὺς αἰῶνας τῶν αἰώνων’.”
4Καὶ ἔπεσαν οἱ πρεσβύτεροι οἱ εἴκοσι τέσσαρες, καὶ τὰ
τέσσαρα ζῷα, καὶ προσεκύνησαν τῷ ˚Θεῷ, τῷ καθημένῳ ἐπὶ
τῷ θρόνῳ λέγοντες, “Ἀμήν! Ἁλληλουϊά!”

5Καὶ φωνὴ ἀπὸ τοῦ θρόνου ἐξῆλθεν λέγουσα, “Αἰνεῖτε τῷ
˚Θεῷ ἡμῶν, πάντες οἱ δοῦλοι αὐτοῦ, οἱ φοβούμενοι αὐτόν, οἱ
μικροὶ καὶ οἱ μεγάλοι!” 6Καὶ ἤκουσα ὡς φωνὴν ὄχλου
πολλοῦ, καὶ ⌜ὡς⌝ φωνὴν ὑδάτων πολλῶν, καὶ ὡς φωνὴν
βροντῶν ἰσχυρῶν λεγόντων, “Ἁλληλουϊά, ὅτι ἐβασίλευσεν
⌜˚Κύριος, ὁ ˚Θεὸς⌝ ⌜ἡμῶν⌝ ὁ Παντοκράτωρ. 7Χαίρωμεν καὶ
ἀγαλλιῶμεν, καὶ ⌜δῶμεν⌝ τὴν δόξαν ⌜αὐτῷ,⌝ ὅτι ἦλθεν ὁ
γάμος τοῦ Ἀρνίου, καὶ ἡ γυνὴ αὐτοῦ ἡτοίμασεν ἑαυτήν.”
8Καὶ ἐδόθη αὐτῇ, ἵνα περιβάληται βύσσινον λαμπρὸν
καθαρόν, τὸ γὰρ βύσσινον τὰ δικαιώματα τῶν ἁγίων ἐστίν.

9Καὶ λέγει μοι, “Γράψον, ‘Μακάριοι οἱ εἰς τὸ δεῖπνον ⌜τοῦ
γάμου⌝ τοῦ Ἀρνίου κεκλημένοι.’” ⌜Καὶ λέγει μοι, “Οὗτοι οἱ
λόγοι⌝ ἀληθινοὶ τοῦ ˚Θεοῦ εἰσιν.” 10Καὶ ἔπεσα ἔμπροσθεν
τῶν ποδῶν αὐτοῦ προσκυνῆσαι αὐτῷ. Καὶ λέγει μοι, “Ὅρα
μή· σύνδουλός σού εἰμι, καὶ τῶν ἀδελφῶν ⌜σου⌝ τῶν ἐχόντων
τὴν μαρτυρίαν ˚Ἰησοῦ· τῷ ˚Θεῷ προσκύνησον. Ἡ γὰρ
μαρτυρία ˚Ἰησοῦ ἐστιν τὸ πνεῦμα τῆς προφητείας.”

11Καὶ εἶδον τὸν οὐρανὸν ἠνεῳγμένον, καὶ ἰδοὺ, ἵππος
λευκός, καὶ ὁ καθήμενος ἐπ’ αὐτὸν, ⌜Πιστὸς καλούμενος⌝
καὶ Ἀληθινός, καὶ ἐν δικαιοσύνῃ κρίνει καὶ πολεμεῖ. 12Οἱ δὲ
ὀφθαλμοὶ αὐτοῦ ⌜⌝ φλὸξ πυρός, καὶ ἐπὶ τὴν κεφαλὴν αὐτοῦ
διαδήματα πολλά, ἔχων ὄνομα ⌜γεγραμμένον, ὃ οὐδεὶς⌝
οἶδεν, εἰ μὴ αὐτός, 13καὶ περιβεβλημένος ἱμάτιον
⌜βεβαμμένον⌝ αἵματι, καὶ ⌜κέκληται τὸ⌝ ὄνομα αὐτοῦ, ὁ
Λόγος τοῦ ˚Θεοῦ. 14Καὶ τὰ στρατεύματα ἐν τῷ οὐρανῷ
ἠκολούθει αὐτῷ ἐφ’ ἵπποις λευκοῖς, ⌜ἐνδεδυμένοι⌝ βύσσινον
λευκὸν καθαρόν. 15Καὶ ἐκ τοῦ στόματος αὐτοῦ ἐκπορεύεται

[6]ωσ 01 - 02 ⌈κυριοσ ο θεοσ 02 | ο θεοσ ο κυριοσ 01⌉ ⌈ημων 01 | - 02⌉ [7]⌈δωμεν 01 | δωσομεν 02⌉ ⌈αυτω 02 | αυτων 01⌉ [9]⌈του γαμου 02 | - 01⌉ ⌈και λεγει μοι ουτοι οι λογοι 02 | ουτοι οι λογοι μου 01⌉ [10]⌈σου 02 | - 01⌉ [11]⌈πιστοσ καλουμενοσ 01 | πιστοσ 02⌉ [12]⌈- 01 | ωσ 02⌉ ⌈γεγραμμενον ο ουδεισ 02 | - 01⌉ [13]⌈βεβαμμενον 02 | περιρεραμμενον 01⌉ ⌈κεκληται το 02 | κεκλητο 01⌉ [14]⌈ενδεδυμενοι 02 | ενδεδυμενοισ 01⌉

ῥομφαία ὀξεῖα, ἵνα ἐν αὐτῇ ⌜πατάξῃ⌝ τὰ ἔθνη, “καὶ αὐτὸς
ποιμανεῖ αὐτοὺς ἐν ῥάβδῳ σιδηρᾷ”· καὶ αὐτὸς πατεῖ τὴν
ληνὸν τοῦ οἴνου ⌜τοῦ θυμοῦ τῆς ὀργῆς⌝ τοῦ °Θεοῦ τοῦ
Παντοκράτορος. 16Καὶ ἔχει ⌜ἐπὶ τὸ ἱμάτιον καὶ⌝ ⌜ἐπὶ⌝ τὸν
μηρὸν αὐτοῦ, ὄνομα γεγραμμένον, “Βασιλεὺς βασιλέων καὶ
°Κύριος κυρίων.”

15 ⌈παταξη 02 | παταξει 01⌉ ⌈του θυμου τησ οργησ 02 | τησ οργησ του θυμου 01⌉ 16 ⌈επι το ιματιον και 01 | - 02⌉ ⌈επι 02 | - 01⌉